5. PLATO Cratyl. 383 A Κρατύλος φησὶν ὅδε, ὦ Σώκρατες, ὀνόματος ὀρθότητα εἶναι ἑκάστωι τῶν ὄντων φύσει πεφυκυῖαν καὶ οὐ τοῦτο εἶναι ὄνομα ὃ ἄν τινες ξυνθέμενοι καλεῖν καλῶσι, τῆς αὑτῶν φωνῆς μόριον ἐπιφθεγγόμενοι, ἀλλὰ ὀρθότητά τινα τῶν ὀνομάτων πεφυκέναι καὶ Ἕλλησι καὶ βαρβάροις τὴν αὐτὴν ἅπασιν. Vgl. AMMON. d. interp. p. 34, 22 Busse.

---

# 66 [53]. ANTISTHENES DER HERAKLITEER

1. DIOG VI 19 γεγόνασι δὲ καὶ ἄλλοι [außer dem Sokratiker] Ἀντισθένεις τρεῖς· Ἡρακλείτειος εἷς καὶ ἕτερος Ἐφέσιος καὶ Ῥόδιός τις ἱστορικός [FHG II 174ff.]. Vgl. IX 15 (22 A 1 § 15).

2. ANDERE HERAKLITEER [ARISTOT.] Probl. 23, 30. 934b 33 διὸ καί φασί τινες τῶν ἡρακλειτιζόντων ἐκ μὲν τοῦ ποτίμου ξηραινομένου καὶ πηγνυμένου λίθους γίνεσθαι καὶ γῆν, ἐκ δὲ τῆς θαλάττης τὸν ἥλιον ἀναθυμιᾶσθαι.

3. PLATO Theaet. p. 179 D οἱ γὰρ τοῦ Ἡρακλείτου ἑταῖροι χορηγοῦσι τούτου τοῦ λόγου μάλα ἐρρωμένως [sc. αἴσθησιν καὶ ἐπιστήμην ταὐτὸν εἶναι].

---

# 67—78. ABDERITEN

## 67 [54]. LEUKIPPOS

### A. LEBEN UND LEHRE

1. DIOG. IX 30ff. Λεύκιππος Ἐλεάτης, ὡς δέ τινες, Ἀβδηρίτης, κατ' ἐνίους δὲ Μήλιος· οὗτος ἤκουσε Ζήνωνος.

ἤρεσκε δ' αὐτῶι ἄπειρα εἶναι τὰ πάντα καὶ εἰς ἄλληλα μεταβάλλειν, τό τε πᾶν εἶναι κενὸν καὶ πλῆρες σωμάτων. τούς τε κόσμους γίνεσθαι σωμάτων εἰς τὸ κενὸν ἐμπιπτόντων καὶ ἀλλήλοις περιπλεκομένων· ἔκ τε τῆς κινήσεως κατὰ τὴν αὔξησιν αὐτῶν γίνεσθαι τὴν τῶν ἀστέρων φύσιν. φέρεσθαι δὲ τὸν ἥλιον ἐν μείζονι κύκλωι περὶ τὴν σελήνην· τὴν γῆν ὀχεῖσθαι περὶ τὸ μέσον δινουμένην. σχῆμά τε αὐτῆς τυμπανῶδες εἶναι. πρῶτός τε ἀτόμους ἀρχὰς ὑπεστήσατο. ⟨καὶ⟩ κεφαλαιωδῶς μὲν ταῦτα· ἐπὶ μέρους δὲ ὧδε ἔχει. (31) τὸ μὲν πᾶν ἄπειρόν φησιν, ὡς προείρηται· τούτου δὲ τὸ μὲν πλῆρες εἶναι, τὸ δὲ κενόν, ⟨ἃ⟩ καὶ στοιχεῖά φησι. κόσμους τε ἐκ τούτου ἀπείρους εἶναι καὶ διαλύεσθαι εἰς ταῦτα. γίνεσθαι δὲ τοὺς κόσμους οὕτω· φέρεσθαι κατὰ ἀποτομὴν ἐκ τῆς ἀπείρου πολλὰ σώματα παντοῖα τοῖς σχήμασιν εἰς μέγα κενόν, ἅπερ ἀθροισθέντα δίνην ἀπερ-

---

7 ἀντίσθεναι B 8 εἷς καὶ ἕτερος BP: καὶ F 19 Μήλιος Hss.: l. Μιλήσιος; s. A 8. 12. 33. 68 A 1 § 34 20 die Doxographie aus Theophrast 21 πλ. [σωμάτων] Diels vgl. Z. 27 24 περὶ BPΦ: παρὰ F 25 ⟨καὶ⟩ Cobet 27 ὡς προείρηται fehlt FΦ ⟨ἃ⟩ Hoelk 28 τούτου unklar vgl. das folgende εἰς ταῦτα (sc. τὰ στοιχεῖα): man erwartet τούτων 29 κατὰ ἀποτομήν] opp. κατὰ συμπλοκήν Simpl. phys. 446, 8; vgl. zu 67 A 24 τῆς ἀπείρου so die Hss. (sc. χώρας vgl. 68 A 49 Mitte): τοῦ ἀπείρου Epikur [67 A 24]

γάζεσθαι μίαν, καθ' ἣν προσκρούοντα καὶ παντοδαπῶς κυκλούμενα διακρίνεσθαι χωρὶς τὰ ὅμοια πρὸς τὰ ὅμοια. ἰσορρόπων δὲ διὰ τὸ πλῆθος μηκέτι δυναμένων περιφέρεσθαι, τὰ μὲν λεπτὰ χωρεῖν εἰς τὸ ἔξω κενόν, ὥσπερ διαττώμενα· τὰ δὲ λοιπὰ συμμένειν καὶ περιπλεκόμενα συγκατατρέχειν ἀλλήλοις καὶ ποιεῖν πρῶτόν τι σύστημα σφαιροειδές. (32) τοῦτο δ' οἷον ὑμένα ἀφίστασθαι περιέχοντα ἐν ἑαυτῶι παντοῖα σώματα· ὧν κατὰ τὴν τοῦ μέσου ἀντέρεισιν περιδινουμένων λεπτὸν γενέσθαι τὸν πέριξ ὑμένα συρρεόντων ἀεὶ τῶν συνεχῶν κατ' ἐπίψαυσιν τῆς δίνης. καὶ οὕτω γενέσθαι τὴν γῆν, συμμενόντων τῶν ἐνεχθέντων ἐπὶ τὸ μέσον. αὐτόν τε πάλιν τὸν περιέχοντα οἷον ὑμένα αὔξεσθαι κατὰ τὴν ἐπέκκρισιν τῶν ἔξωθεν σωμάτων· δίνηι τε φερόμενον αὐτόν, ὧν ἂν ἐπιψαύσηι, ταῦτα ἐπικτᾶσθαι. τούτων δέ τινα συμπλεκόμενα ποιεῖν σύστημα, τὸ μὲν πρῶτον κάθυγρον καὶ πηλῶδες, ξηρανθέντα καὶ περιφερόμενα σὺν τῆι τοῦ ὅλου δίνηι, εἶτ' ἐκπυρωθέντα τὴν τῶν ἀστέρων ἀποτελέσαι φύσιν. (33) εἶναι δὲ τὸν τοῦ ἡλίου κύκλον ἐξώτατον, τὸν δὲ τῆς σελήνης προσγειότατον, τῶν ἄλλων μεταξὺ τούτων ὄντων. καὶ πάντα μὲν τὰ ἄστρα πυροῦσθαι διὰ τὸ τάχος τῆς φορᾶς, τὸν δὲ ἥλιον καὶ ὑπὸ τῶν ἀστέρων ἐκπυροῦσθαι· τὴν δὲ σελήνην τοῦ πυρὸς ὀλίγον μεταλαμβάνειν. ἐκλείπειν δὲ ἥλιον καὶ σελήνην ⟨* * *. τὴν δὲ λόξωσιν τοῦ ζωιδιακοῦ γενέσθαι⟩ τῶι κεκλίσθαι τὴν γῆν πρὸς μεσημβρίαν· τὰ δὲ πρὸς ἄρκτωι ἀεί τε νίφεσθαι καὶ κατάψυχρα εἶναι καὶ πήγνυσθαι. καὶ τὸν μὲν ἥλιον ἐκλείπειν σπανίως, τὴν δὲ σελήνην συνεχὲς διὰ τὸ ἀνίσους εἶναι τοὺς κύκλους αὐτῶν. εἶναί τε ὥσπερ γενέσεις κόσμου, οὕτω καὶ αὐξήσεις καὶ φθίσεις καὶ φθορὰς κατά τινα ἀνάγκην, ἣν ὁποία ἐστὶν ⟨οὐ⟩ διασαφεῖ.

2. Diog. x 13 [*Epicurea* p. 365, 19 Usen.] τοῦτον [Epikur] Ἀπολλόδωρος ἐν Χρονικοῖς [FGrHist. 244 F 41 ii 1032] Ναυσιφάνους ἀκοῦσαί φησι καὶ Πραξιφάνους· αὐτὸς δὲ οὔ φησιν, ἀλλ' ἑαυτοῦ ἐν τῆι πρὸς Εὐρύλοχον ἐπιστολῆι [fr. 123].

---

1 μίαν] βίαι Roeper vgl. 67 A 16 Ende προσκρούοντα ⟨ἀλλήλοις⟩ Diels διακρούεσθαι F 2 ἰσορρόπως Roeper 3 διαττώμενα B¹P¹: διαττόμενα B²P²FΦ vgl. 68 B 165 4 ἀλλήλοις Cobet: ἄλληλα Hss. 5 ἀφίστασθαι BPF (*von sich abtrennen?*): ὑφίστασθαι Φ, Reiske; τούτωι ... ἀμφίστασθαι Rohde unnötig 6 ⟨ἐπὶ⟩ τοῦ μέσου I. Hammer-Jensen λεπτόν] παχὺν vel μεῖζω Reiske 7 κατ' ἐπίψαυσιν FP²Φ: κατεπιψαύειν BP¹ 8 συμμενόντων PF: συμβενόντων (i. e. συμβαινόντων) B vgl. unten zu A 14 (ii 75, 29) 9 ἐπέκκρισιν Heidel: ἐπέκρυσιν BPF: ἐπικράτησιν Φ: ἐπείσρυσιν Rohde *Kl. Schriften* i 208: ἐπίρρυσιν Brieger 12 ξηρανθέντα δὲ καὶ Φ (und so Wil.*) 13 ἄστρων Φ 14 s. dagegen Demokrit 68 A 86 ὄντων Φ: fehlt BPF: ⟨τοὺς δὲ⟩ vor τῶν ἄλλων nach Stephanus Diels 1. 2. Aufl. 15 πυροῦσθαι BP: fehlt F und d. Ausgg. διὰ ... ἀστέρων fehlt F¹ 16 vgl. 68 A 89a 17 ⟨ ⟩ Diels, Ergänzung verwirft H. Gomperz, da zuerst Oinopides, der jünger sei als Leukipp, die λόξωσις beschrieben habe (c. 41, 7 i 393, 24); vielmehr sei von der in den Tropen herrschenden Hitze die Rede gewesen (vgl. 68 A 96). Aber die Schiefe der Ekliptik ist bereits Anaximander bekannt (12 A 5. 22); Oinopides scheint die Deklination genauer bestimmt zu haben τῷ PΦ: τὸ BF¹ 18 ἄρκτωι PFΦ: ἄρκτον B 19 συνεχὲς Diels: συνεχεῖ BP¹: συνεχῶς FP²Φ 20 κόσμων Rohde 21 ⟨οὐ⟩ Stephanus 23 [καὶ Πραξ.] Jacoby 24 εὐρύδοκον BP²F: εὐρόλοκον P¹: verb. Menage aus § 28 24ff. zu Leukipp vgl. aber Epikur 75 A 7. Über diese Streitfrage vgl. Rohde *Kl. Schrift.* i 205. Diels *Verh. d. Philologenv.* 1880, 96. *Rh. Mus.* 42 (1887) 1ff. Brieger *Herm.* 36 (1901) 161;

ἀλλ' οὐδὲ Λεύκιππόν τινα γεγενῆσθαί φησι φιλόσοφον οὔτε αὐτὸς οὔτε Ἕρμαρχος, ὃν ἔνιοί φασι (καὶ Ἀπολλόδωρος ὁ Ἐπικούρειος) διδάσκαλον Δημοκρίτου γεγενῆσθαι.

3. Simpl. Phys. 25, 2 [vgl. oben 64 A 5] Diogenes v. Ap. τὰ μὲν πλεῖστα συμπεφορημένως γέγραφε, τὰ μὲν κατὰ Ἀναξαγόραν τὰ δὲ κατὰ Λεύκιππον λέγων.

4. Clem. Strom. I 64 [II 40, 24 St.] Παρμενίδης τοίνυν Ξενοφάνους ἀκουστὴς γίνεται, τούτου δὲ Ζήνων, εἶτα Λ., εἶτα Δημόκριτος. Vgl. Diog. I 15. IX 34.

5. [Galen.] Hist. philos. 3 (D. 601, 9) τούτου [Zeno v. Elea] δὲ Λ. ὁ Ἀβδηρίτης ἀκουστὴς τὴν τῶν ἀτόμων εὕρεσιν ἐπινενόηκε πρῶτος. Iambl. V. P. 104 οἱ ἐκ τοῦ διδασκαλείου τούτου, μάλιστα δὲ οἱ παλαιότατοι καὶ αὐτῶι συγχρονίσαντες καὶ μαθητεύσαντες τῶι Πυθαγόραι πρεσβύτηι νέοι Φιλόλαός τε καὶ Εὔρυτος ... Λεύκιππός τε καὶ Ἀλκμαίων. Tzetz. Chil. II 980 Λευκίππου τοῦ μαθητοῦ Μελίσσου.

6. Aristot. Metaphys. A 4. 985b 4 Λ. δὲ καὶ ὁ ἑταῖρος αὐτοῦ Δημόκριτος στοιχεῖα μὲν τὸ πλῆρες καὶ τὸ κενὸν εἶναί φασι, λέγοντες τὸ μὲν ὂν τὸ δὲ μὴ ὄν, τούτων δὲ τὸ μὲν πλῆρες καὶ στερεόν, τὸ ὄν, τὸ δὲ κενὸν καὶ μανόν, τὸ μὴ ὄν (διὸ καὶ οὐθὲν μᾶλλον τὸ ὂν τοῦ μὴ ὄντος εἶναί φασιν, ὅτι οὐδὲ τὸ κενὸν ⟨ἔλαττον⟩ τοῦ σώματος), αἴτια δὲ τῶν ὄντων ταῦτα ὡς ὕλην. καὶ καθάπερ οἱ ἓν ποιοῦντες τὴν ὑποκειμένην οὐσίαν τἆλλα τοῖς πάθεσιν αὐτῆς γεννῶσι, τὸ μανὸν καὶ τὸ πυκνὸν ἀρχὰς τιθέμενοι τῶν παθημάτων, τὸν αὐτὸν τρόπον καὶ οὗτοι τὰς διαφορὰς αἰτίας τῶν ἄλλων εἶναί φασιν. ταύτας μέντοι τρεῖς εἶναι λέγουσι, σχῆμά τε καὶ τάξιν καὶ θέσιν· διαφέρειν γάρ φασι τὸ ὂν ῥυσμῶι καὶ διαθιγῆι καὶ τροπῆι μόνον. τούτων δὲ ὁ μὲν ῥυσμὸς σχῆμά ἐστιν, ἡ δὲ διαθιγὴ τάξις, ἡ δὲ τροπὴ θέσις· διαφέρει γὰρ τὸ μὲν Α τοῦ Ν σχήματι, τὸ δὲ ΑΝ τοῦ ΝΑ τάξει, τὸ δὲ Ι τοῦ Η θέσει. περὶ δὲ κινήσεως, ὅθεν ἢ πῶς ὑπάρχει τοῖς οὖσι, καὶ οὗτοι παραπλησίως τοῖς ἄλλοις ῥαθύμως ἀφεῖσαν. [Folgt 58 B 4.] Alex. in Metaph. z. d. St. 36, 21 λέγει μὲν περὶ Λευκίππου τε καὶ Δημοκρίτου· οὗτοι γὰρ λέγουσιν ἀλληλοτυπούσας καὶ κρουομένας πρὸς ἀλλήλας κινεῖσθαι τὰς ἀτόμους, πόθεν μέντοι ἡ ἀρχὴ τῆς κινήσεως τῆς κατὰ φύσιν, οὐ λέγουσιν. ἡ γὰρ κατὰ τὴν ἀλληλοτυπίαν βίαιός ἐστι κίνησις καὶ οὐ κατὰ φύσιν, ὑστέρα δὲ ἡ βίαιος τῆς κατὰ φύσιν. Philop. de anima p. 68, 3 ῥυσμὸς λέξις ἐστὶν Ἀβδηρική, σημαίνει δὲ τὸ σχῆμα.

7. Aristot. de gen. et corr. A 8. 324b 35 ὁδῶι δὲ μάλιστα καὶ περὶ (325a 1) πάντων ἑνὶ λόγωι διωρίκασι Λ. καὶ Δημόκριτος, ἀρχὴν ποιησάμενοι κατὰ φύσιν ἥπερ ἐστίν. ἐνίοις γὰρ τῶν ἀρχαίων ἔδοξε τὸ ὂν ἐξ ἀνάγκης ἓν εἶναι καὶ ἀκίνητον· τὸ μὲν γὰρ κενὸν οὐκ ὄν, κινηθῆναι δ' οὐκ ἂν δύνασθαι μὴ ὄντος κενοῦ κεχωρι-

---

Bokownew *Leukipp-Frage* (Dorpat 1911). Diels Vorrede *Vorsokr.* 4. Aufl. S. VIff. Oppermann *Xenia Bonnensia* 1929 S. 26ff. Zuletzt hierüber Howald *Festschrift f. Joel* 1934, 159. Vgl. zu 67 B 1

14 λέγοντες Ab: λέγοντες οἷον E 15 κενόν τε E: κενόν γε jüng. Hss. καὶ μανὸν fehlt Ab 16 ⟨ἔλαττον⟩ Zeller, Diels nach A 8 (II 74, 9): οὐδὲ τὸ σῶμα τοῦ κενοῦ Casaubonus 17 ταῦτά γε Ab 19 ἀρχὰς τιθ. nach τ. παθ. Ab vor τὸν: καὶ ὥσπερ τῶν μαθηματικῶν var. lect. bei Alexander 22ff. zur Bedeutung der Buchstaben für die Atomistik s. Frank *Plato u. d. sog. Pythagor.* S. 169ff. 21 διαφέρει γάρ φησι E διαθιγῆι] *Berührung untereinander* 24 Η Wilamowitz *Comm. gr.* IV Gott. 1890 p. 27: Ν (späte Interpolation wegen des veränderten Z) Hss. Vgl. Diels *Elementum* (Lpz. 1899) S. 13 ὑπάρξει Ab 28 τῆς κατὰ φύσιν Zeller: τοῖς κ. φ. Hss. 32 ἑνὶ λόγωι fehlt E; es entspricht ἁπλῶς nach Heidel *Proc. of the Ac. of Arts & Sc.* 48 (1913) 732

σμένου, οὐδ' αὖ πολλὰ εἶναι μὴ ὄντος τοῦ διείργοντος ... [folgt die 28 A 25 mitget. St.] ... 325a 23 Λ. δ' ἔχειν ᾠήθη λόγους, οἵτινες πρὸς τὴν αἴσθησιν ὁμολογούμενα λέγοντες οὐκ ἀναιρήσουσιν οὔτε γένεσιν οὔτε φθορὰν οὔτε κίνησιν καὶ τὸ πλῆθος τῶν ὄντων. ὁμολογήσας δὲ ταῦτα μὲν τοῖς φαινομένοις, τοῖς δὲ τὸ ἓν κατασκευάζουσιν ὡς οὐκ ἂν κίνησιν οὖσαν ἄνευ κενοῦ, τό τε κενὸν μὴ ὂν καὶ τοῦ ὄντος οὐθὲν μὴ ὄν φησιν εἶναι· τὸ γὰρ κυρίως ὂν παμπλῆρες ὄν. ἀλλ' εἶναι τὸ τοιοῦτον οὐχ ἕν, ἀλλ' ἄπειρα τὸ πλῆθος καὶ ἀόρατα διὰ σμικρότητα τῶν ὄγκων. ταῦτα δ' ἐν τῶι κενῶι φέρεσθαι (κενὸν γὰρ εἶναι), καὶ συνιστάμενα μὲν γένεσιν ποιεῖν, διαλυόμενα δὲ φθοράν. ποιεῖν δὲ καὶ πάσχειν ἧι τυγχάνουσιν ἁπτόμενα· ταύτηι γὰρ οὐχ ἓν εἶναι. καὶ συντιθέμενα δὲ καὶ περιπλεκόμενα γεννᾶν· ἐκ δὲ τοῦ κατ' ἀλήθειαν ἑνὸς [s. 28 A 25] οὐκ ἂν γενέσθαι πλῆθος οὐδ' ἐκ τῶν ἀληθῶς πολλῶν ἕν, ἀλλ' εἶναι τοῦτ' ἀδύνατον· ἀλλ', ὥσπερ Ἐμπεδοκλῆς [31 A 87] καὶ τῶν ἄλλων τινές φασι πάσχειν διὰ πόρων, οὕτω πᾶσαν ἀλλοίωσιν καὶ πᾶν τὸ πάσχειν τοῦτον γίνεσθαι τὸν τρόπον, διὰ τοῦ κενοῦ γινομένης τῆς διαλύσεως καὶ τῆς φθορᾶς, ὁμοίως δὲ καὶ τῆς αὐξήσεως, ὑπεισδυομένων στερεῶν. σχεδὸν δὲ καὶ Ἐμπεδοκλεῖ ἀναγκαῖον λέγειν ὥσπερ καὶ Λ. φησιν. εἶναι γὰρ ἄττα στερεά, ἀδιαίρετα δέ, εἰ μὴ πάντηι πόροι συνεχεῖς εἰσιν. τοῦτο δ' ἀδύνατον· οὐθὲν γὰρ ἔσται ἕτερον στερεὸν παρὰ τοὺς πόρους, ἀλλὰ πᾶν κενόν. ἀνάγκη ἄρα τὰ μὲν ἁπτόμενα εἶναι ἀδιαίρετα, τὰ δὲ μεταξὺ αὐτῶν κενά, οὓς ἐκεῖνος [Empedokles] λέγει πόρους. οὕτως δὲ καὶ Λ. λέγει περὶ τοῦ ποιεῖν καὶ πάσχειν. ... 325b 24 ὥσπερ ἐν τῶι Τιμαίωι γέγραφε Πλάτων· τοσοῦτον γὰρ διαφέρει τοῦ μὴ τὸν αὐτὸν τρόπον Λευκίππωι λέγειν, ὅτι ὁ μὲν στερεά, ὁ δὲ ἐπίπεδα λέγει τὰ ἀδιαίρετα, καὶ ὁ μὲν ἀπείροις ὡρίσθαι σχήμασι τῶν ἀδιαιρέτων στερεῶν ἕκαστον, ὁ δὲ ὡρισμένοις, ἐπεὶ ἀδιαίρετά γε ἀμφότεροι λέγουσι καὶ ὡρισμένα σχήμασιν. ἐκ δὴ τούτων αἱ γενέσεις καὶ αἱ διακρίσεις Λευκίππωι μὲν δύο τρόποι ἂν εἶεν διά τε τοῦ κενοῦ καὶ διὰ τῆς ἁφῆς (ταύτηι γὰρ διαιρετὸν ἕκαστον), Πλάτωνι δὲ κατὰ τὴν ἁφὴν μόνον· κενὸν γὰρ οὐκ εἶναί φησι. [Aus A 7 oben Z. 2ff. [Ar.] de MXG 6. 980a 7 ἐν τοῖς Λευκίππου καλουμένοις λόγοις]. Zu ἁφή vgl. PHILOPON. de gen. et corr. p. 158, 26 οὐ .. κυρίως τὴν ἁφὴν ἔλεγεν ὁ Δημόκριτος λέγων ἅπτεσθαι ἀλλήλων τὰς ἀτόμους ..., ἀλλὰ ⟨τὸ⟩ πλησίον εἶναι ἀλλήλων τὰς ἀτόμους καὶ μὴ πολὺ διεστάναι, τοῦτο ἁφὴν ἐκάλει· κενῶι γὰρ πάντως διείργεσθαι αὐτάς. ib. p. 160, 10 τὴν ἁφὴν οἱ περὶ Λ. οὐ κυρίως ἔλεγον.

8. SIMPL. Phys. 28, 4 [aus Theophr. Phys. Opin. fr. 8; D. 483] Λ. δὲ ὁ Ἐλεάτης ἢ Μιλήσιος (ἀμφοτέρως γὰρ λέγεται περὶ αὐτοῦ) κοινωνήσας Παρμενίδηι

---

2 λόγους] *eine Theorie, ein System* 5 οὐκ E: οὔτε FHL τό τε] ποιεῖν E 6 μὴ ὂν] μεῖον Heidel a. O. S. 734 unrichtig, wie die folgende Begründung zeigt γὰρ fehlt E κ. ὂν] κ. ἓν E παμπλῆρες EFH: παμπληθὲς vulg. Hss. 15 εἰσδυομένων ἑτέρων E 16ff. darauf, daß hier ein Zitat aus dem Μέγας διάκοσμος vorliegt, weist mit Recht hin Philippson *Gött. gel. Nachr.* 1929, 133[1]; Zitat hieraus nach seiner sehr unsicheren Ergänzung ebd. 131f. in *Epicuri et Epicureorum scripta* ed. Vogliano (Berlin 1928) Fr. 1 vol. 2, 17ff. 16 στερεὰ καὶ ἀδ. E 18 ἕτερον fehlt E 22 ὁ μὲν στερεά] Leuk. ὁ δὲ ἐπίπεδα] Plato Tim. 53cff. 23 ὁ μὲν ἀπείροις] Leuk. ὁ δὲ ὡρισμένοις] Plato 28ff. vgl. Luria *Quell. u. Stud. z. Gesch. d. Math.* B 2, 2 S. 155 30 ⟨ ⟩ Aldine 34 κοινωνήσας Παρμενίδηι τῆς φιλοσοφίας] als Schüler Zenons A 1. 4. 10. Vgl. Kranz *Herm.* 47 (1912) 19 (das. über die Lebenszeit des L.)

τῆς φιλοσοφίας, οὐ τὴν αὐτὴν ἐβάδισε Παρμενίδηι καὶ Ξενοφάνει περὶ τῶν ὄντων ὁδόν, ἀλλ' ὡς δοκεῖ τὴν ἐναντίαν. ἐκείνων γὰρ ἓν καὶ ἀκίνητον καὶ ἀγένητον καὶ πεπερασμένον ποιούντων τὸ πᾶν καὶ τὸ μὴ ὂν μηδὲ ζητεῖν συγχωρούντων, οὗτος ἄπειρα καὶ ἀεὶ κινούμενα ὑπέθετο στοιχεῖα τὰς ἀτόμους καὶ τῶν ἐν αὐτοῖς σχημάτων ἄπειρον τὸ πλῆθος διὰ τὸ μηδὲν μᾶλλον τοιοῦτον ἢ τοιοῦτον εἶναι καὶ γένεσιν καὶ μεταβολὴν ἀδιάλειπτον ἐν τοῖς οὖσι θεωρῶν. ἔτι δὲ οὐδὲν μᾶλλον τὸ ὂν ἢ τὸ μὴ ὂν ὑπάρχειν, καὶ αἴτια ὁμοίως εἶναι τοῖς γινομένοις ἄμφω. τὴν γὰρ τῶν ἀτόμων οὐσίαν ναστὴν καὶ πλήρη ὑποτιθέμενος ὂν ἔλεγεν εἶναι καὶ ἐν τῶι κενῶι φέρεσθαι, ὅπερ μὴ ὂν ἐκάλει καὶ οὐκ ἔλαττον τοῦ ὄντος εἶναί φησι. παραπλησίως δὲ καὶ ὁ ἑταῖρος αὐτοῦ Δημόκριτος ὁ Ἀβδηρίτης ἀρχὰς ἔθετο τὸ πλῆρες καὶ τὸ κενόν κτλ. Cic. Acad. pr. II 37, 118 (D. 119) *L. plenum et inane; Democritus huic in hoc similis, uberior in ceteris.*

9. Aristot. de gen. et corr. A 1. 314a 21 Δημόκριτος δὲ καὶ Λ. ἐκ σωμάτων ἀδιαιρέτων τἆλλα συγκεῖσθαί φασι, ταῦτα δ' ἄπειρα καὶ τὸ πλῆθος εἶναι καὶ τὰς μορφάς, αὐτὰ δὲ πρὸς αὐτὰ διαφέρειν τούτοις ἐξ ὧν εἰσι καὶ θέσει καὶ τάξει τούτων. 315b 6 Δημ. δὲ καὶ Λ. ποιήσαντες τὰ σχήματα τὴν ἀλλοίωσιν καὶ τὴν γένεσιν ἐκ τούτων ποιοῦσι, διακρίσει μὲν καὶ συγκρίσει γένεσιν καὶ φθοράν, τάξει δὲ καὶ θέσει ἀλλοίωσιν. ἐπεὶ δ' ὤιοντο τἀληθὲς ἐν τῶι φαίνεσθαι, ἐναντία δὲ καὶ ἄπειρα τὰ φαινόμενα, τὰ σχήματα ἄπειρα ἐποίησαν, ὥστε ταῖς μεταβολαῖς τοῦ συγκειμένου τὸ αὐτὸ ἐναντίον δοκεῖν ἄλλωι καὶ ἄλλωι, καὶ μετακινεῖσθαι μικροῦ ἐμμειγνυμένου καὶ ὅλως ἕτερον φαίνεσθαι ἑνὸς μετακινηθέντος· ἐκ τῶν αὐτῶν γὰρ τραγωιδία καὶ κωμωιδία γίνεται γραμμάτων.

10. Hippol. Ref. I 12 (D. 564, 16 W.) (1) Λ. δὲ Ζήνωνος ἑταῖρος οὐ τὴν αὐτὴν δόξαν διετήρησεν, ἀλλά φησιν ἄπειρα εἶναι καὶ ἀεὶ κινούμενα καὶ γένεσιν καὶ μεταβολὴν συνεχῶς οὖσαν. στοιχεῖα δὲ λέγει τὸ πλῆρες καὶ ⟨τὸ⟩ κενόν. (2) κόσμους δὲ ⟨ὧδε⟩ γίνεσθαι λέγει· ὅταν εἰς μέγα κενὸν ἐκ τοῦ περιέχοντος ἀθροισθῆι πολλὰ σώματα καὶ συρρυῆι, προσκρούοντα ἀλλήλοις συμπλέκεσθαι τὰ ὁμοιοσχήμονα καὶ παραπλήσια τὰς μορφάς, καὶ περιπλεχθέντων ἄστρα γίνεσθαι, αὔξειν δὲ καὶ φθίνειν διὰ τὴν ἀνάγκην. τίς δ' ἂν εἴη ἡ ἀνάγκη, οὐ διώρισεν.

11. Cic. Acad. pr. II 37, 118 (D. 119; zwischen Parmenides und Demokrit) *L. plenum et inane.* de deor. nat. I 24, 66 *ista enim flagitia Democriti, sive etiam ante Leucippi, esse corpuscula quaedam levia, alia aspera, rutunda alia, partim autem angulata vel hamata, curvata quaedam et quasi adunca, ex iis effectum esse caelum atque terram nulla cogente natura, sed concursu quodam fortuito: hanc tu opinionem, C. Vellei, usque ad hanc aetatem perduxisti.* Vgl. Lact. de ira 10, 3 inst. div. III 17, 22 und 68 A 80.

---

4 ἐν αὐτοῖς] ἐν αὐταῖς zu erwarten nach 68 A 38 (II 94, 13); schwerlich richtig Th. Gomperz *Griech. Denk.* I³ 453 (zu S. 283) 22 vgl. Diels *Elementum* S. 13³ 25 συνεχῆ verm. Diels nach ἀδιάλειπτον Z. 6 ⟨ ⟩ Wolf 26 ⟨ ⟩ Usener γενέσθαι Hss.: verb. Roeper μέγα κενόν Roeper: μετάκοινον Hss. 28 ἄστρα Diels: εἰς ἕτερα Hss.: περιπλεχθέντων ⟨ἑτέρων⟩ εἰς ἕτερα ⟨ἄστρα⟩ γίνεσθαι Kochalsky (aber περιπλέκεσθαι εἰς?); evidente Verb. noch nicht gefunden αὔξειν] intrans. Vgl. Bonitz Ind. Ar. p. 122b 35

32 *quaedam* ⟨*et alia quidem*⟩ Plasberg 33 *vel hamata* Diels (vel = l); *firamata* AP (daraus φυράματα unrichtig H. Gomperz): *foramata* C: *ipiramata* N: *piramata* O; *forma hamata* Madvig: *figura h.* Forchhammer: *et hamata* Plasberg

12. Aët. I 3, 15 (D. 285) Λ. Μιλήσιος ἀρχὰς καὶ στοιχεῖα τὸ πλῆρες καὶ τὸ κενόν vgl. I 14, 3. Clem. Protr. 66 (I 50, 15 St.)

13. Simpl. Phys. p. 925, 10 οἱ δὲ τῆς ἐπ' ἄπειρον τομῆς ἀπεγνωκότες, ὡς οὐ δυναμένων ἡμῶν ἐπ' ἄπειρον τεμεῖν καὶ ἐκ τούτου πιστώσασθαι τὸ ἀκατάληκτον τῆς τομῆς, ἐξ ἀδιαιρέτων ἔλεγον ὑφεστάναι τὰ σώματα καὶ εἰς ἀδιαίρετα διαιρεῖσθαι. πλὴν ὅτι Λ. μὲν καὶ Δημόκριτος οὐ μόνον τὴν ἀπάθειαν αἰτίαν τοῖς πρώτοις σώμασι τοῦ μὴ διαιρεῖσθαι νομίζουσιν, ἀλλὰ καὶ τὸ σμικρὸν καὶ ἀμερές, Ἐπίκουρος [fr. 268 Us.] δὲ ὕστερον ἀμερῆ μὲν οὐχ ἡγεῖται, ἄτομα δὲ αὐτὰ διὰ τὴν ἀπάθειαν εἶναί φησι. καὶ πολλαχοῦ μὲν τὴν Λευκίππου καὶ Δημοκρίτου δόξαν ὁ Ἀριστοτέλης διήλεγξεν, καὶ δι' ἐκείνους ἴσως τοὺς ἐλέγχους πρὸς τὸ ἀμερὲς ἐνισταμένους ὁ Ἐπίκουρος ὕστερον μὲν γενόμενος, συμπαθῶν δὲ τῆι Λευκίππου καὶ Δημοκρίτου δόξηι περὶ τῶν πρώτων σωμάτων, ἀπαθῆ μὲν ἐφύλαξεν αὐτά, τὸ δὲ ἀμερὲς αὐτῶν παρείλετο, ὡς διὰ τοῦτο ὑπὸ τοῦ Ἀριστοτέλους ἐλεγχομένων.

14. — — p. 36, 1 οἱ δὲ περὶ Λεύκιππον καὶ Δημόκριτον τὰ ἐλάχιστα πρῶτα σώματα ἄτομα καλοῦντες κατὰ τὴν τῶν σχημάτων αὐτῶν καὶ τῆς θέσεως καὶ τῆς τάξεως διαφορὰν τὰ μὲν θερμὰ γίνεσθαι καὶ πύρια τῶν σωμάτων, ὅσα ἐξ ὀξυτέρων καὶ λεπτομερεστέρων καὶ κατὰ ὁμοίαν θέσιν κειμένων σύγκειται τῶν πρώτων σωμάτων, τὰ δὲ ψυχρὰ καὶ ὑδατώδη, ὅσα ἐκ τῶν ἐναντίων, καὶ τὰ μὲν λαμπρὰ καὶ φωτεινά, τὰ δὲ ἀμυδρὰ καὶ σκοτεινά. de caelo p. 242, 15 οὐδὲ ὡς διωρισμένα ἄπειρα τῶι πλήθει δυνατὸν εἶναι τὰ στοιχειώδη σώματα, ὡς οἱ περὶ Λεύκιππον καὶ Δημόκριτον ὑπετίθεντο πρὸ αὐτοῦ γεγονότες καὶ μετ' αὐτὸν Ἐπίκουρος. οὗτοι γὰρ ἔλεγον ἀπείρους εἶναι τῶι πλήθει τὰς ἀρχάς, ἃς καὶ ἀτόμους καὶ ἀδιαιρέτους ἐνόμιζον καὶ ἀπαθεῖς διὰ τὸ ναστὰς εἶναι καὶ ἀμοίρους τοῦ κενοῦ· τὴν γὰρ διαίρεσιν κατὰ τὸ κενὸν τὸ ἐν τοῖς σώμασιν ἔλεγον γίνεσθαι, ταύτας δὲ τὰς ἀτόμους ἐν ἀπείρωι τῶι κενῶι κεχωρισμένας ἀλλήλων καὶ διαφερούσας σχήμασί τε καὶ μεγέθεσι καὶ θέσει καὶ τάξει φέρεσθαι ἐν τῶι κενῶι καὶ ἐπικαταλαμβανούσας ἀλλήλας συγκρούεσθαι καὶ τὰς μὲν ἀποπάλλεσθαι, ὅπηι ἂν τύχωσιν, τὰς δὲ περιπλέκεσθαι ἀλλήλαις κατὰ τὴν τῶν σχημάτων καὶ μεγεθῶν καὶ θέσεων καὶ τάξεων συμμετρίαν καὶ συμμένειν καὶ οὕτως τὴν τῶν συνθέτων γένεσιν ἀποτελεῖσθαι.

15. Aët. I 18, 3 (D. 316) Λ. Δημόκριτος ... Ἐπίκουρος τὰ μὲν ἄτομα ἄπειρα τῶι πλήθει, τὸ δὲ κενὸν ἄπειρον τῶι μεγέθει. Aristot. de caelo Γ 4. 303a 4 οὐδ' ὡς ἕτεροί τινες λέγουσιν, οἷον Λ. τε καὶ Δημ. ὁ Ἀβδηρίτης, εὔλογα τὰ συμβαίνοντα· φασὶ γὰρ εἶναι τὰ πρῶτα μεγέθη πλήθει μὲν ἄπειρα, μεγέθει δὲ ἀδιαίρετα, καὶ οὔτ' ἐξ ἑνὸς πολλὰ γίγνεσθαι οὔτε ἐκ πολλῶν ἕν, ἀλλὰ τῆι τούτων συμπλοκῆι καὶ περιπαλάξει πάντα γεννᾶσθαι. τρόπον γάρ τινα καὶ οὗτοι πάντα τὰ ὄντα ποιοῦσιν ἀριθμοὺς καὶ ἐξ ἀριθμῶν· καὶ γὰρ εἰ μὴ σαφῶς δηλοῦσι, ὅμως τοῦτο βούλονται λέγειν. καὶ πρὸς τούτοις, ἐπεὶ διαφέρει τὰ σώματα σχήμασιν, ἄπειρα

---

4 τεμεῖν C: τέμνειν AF ἀκατάληπτον CF 5 ὑφίστασθαι F · 7 ἀμερές] zu diesem Begriff vgl. Luria a. O. S. 172ff. 8 vgl. v. Arnim *Epikureische Lehre vom Minimum*. Festvortr. d. Wien. Ak. 1907 S. 19 9 δημοκρίτου καὶ λευκίππου stellt um F 11 μὲν fehlt F 12 ἀσωμάτων F 17 ὁμοίων Ea 18 καὶ vor τὰ fehlt DE 27 ὅποι A 29 συμμένειν Diels nach 67 A 1 (II 71, 4. 8); 68 A 37 (II 93, 33. 37): συμβαίνειν Hss.: συμβαίνειν [καὶ] Heiberg nach der lat. Übers. des Morbeka 35 περιπαλάξει Simpl. de cael. 609, 25 DE: ἐπαλλάξει oder περιπλέξει Ar. Hss. Vgl. 68 A 58 (II 99, 10); A 135 § 66 (II 118, 20. 23); B 168. Diels *Herm.* 40 (1905) 307

δὲ τὰ σχήματα, ἄπειρα καὶ τὰ ἁπλᾶ σώματά φασιν εἶναι. ποῖον δὲ καὶ τί ἑκάστου τὸ σχῆμα τῶν στοιχείων, οὐθὲν ἐπιδιώρισαν, ἀλλὰ μόνον τῶι πυρὶ τὴν σφαῖραν ἀπέδωκαν· ἀέρα δὲ καὶ ὕδωρ καὶ τἆλλα μεγέθει καὶ μικρότητι διεῖλον, ὡς οὖσαν αὐτῶν τὴν φύσιν οἷον πανσπερμίαν πάντων τῶν στοιχείων.

16. Aristot. de caelo Γ 2. 300 b 8 διὸ καὶ Λευκίππωι καὶ Δημοκρίτωι τοῖς λέγουσιν ἀεὶ κινεῖσθαι τὰ πρῶτα σώματα ἐν τῶι κενῶι καὶ τῶι ἀπείρωι, λεκτέον τίνα κίνησιν καὶ τίς ἡ κατὰ φύσιν αὐτῶν κίνησις. Simpl. z. d. St. 583, 20 ἔλεγον ἀεὶ κινεῖσθαι τὰ πρῶτα κατ' αὐτοὺς σώματα, τουτέστι τὰς ἀτόμους, ἐν τῶι ἀπείρωι κενῶι βίαι.

17. Herm. Irris. 12 (D. 654) ταῦτα γάρ τοι πάντα ὁ Λ. λῆρον ἡγούμενος ἀρχὰς εἶναί φησι τὰ ἄπειρα καὶ ἀεικίνητα καὶ ἐλάχιστα· καὶ τὰ μὲν λεπτομερῆ ἄνω χωρήσαντα πῦρ καὶ ἀέρα γενέσθαι, τὰ δὲ παχυμερῆ κάτω ὑποστάντα ὕδωρ καὶ γῆν.

18. Aristot. Metaph. Λ 6. 1071 b 31 διὸ ἔνιοι ποιοῦσιν ἀεὶ ἐνέργειαν οἷον Λ. καὶ Πλάτων· αἰεὶ γὰρ εἶναί φασι κίνησιν. ἀλλὰ διὰ τί καὶ τίνα, οὐ λέγουσιν οὐδ', εἰ ὡδὶ ἢ ὡδί, τὴν αἰτίαν.

19. — de caelo A 7. 275 b 29 εἰ δὲ μὴ συνεχὲς τὸ πᾶν, ἀλλ' ὥσπερ λέγει Δημόκριτος καὶ Λ., διωρισμένα τῶι κενῶι, μίαν ἀναγκαῖον εἶναι πάντων τὴν κίνησιν. διώρισται μὲν γὰρ τοῖς σχήμασιν· τὴν δὲ φύσιν εἶναί φασιν αὐτῶν μίαν, ὥσπερ ἂν εἰ χρυσὸς ἕκαστον εἴη κεχωρισμένον. Phys. Δ 6. 213 a 27 [nach 59 A 68] οἱ δ' ἄνθρωποι βούλονται κενὸν εἶναι διάστημα, ἐν ὧι μηδέν ἐστι σῶμα αἰσθητόν· οἰόμενοι δὲ τὸ ὂν ἅπαν εἶναι σῶμα φασίν, ἐν ὧι ὅλον μηδέν ἐστι, τοῦτ' εἶναι κενόν. διὸ τὸ πλῆρες ἀέρος κενὸν εἶναι. οὔκουν τοῦτο δεῖ δεικνύναι, ὅτι ἔστι τι ὁ ἀήρ, ἀλλ' ὅτι οὐκ ἔστι διάστημα ἕτερον τῶν σωμάτων οὔτε χωριστὸν οὔτε ἐνεργείαι ὄν, ὃ διαλαμβάνει τὸ πᾶν σῶμα, ὥστ' εἶναι μὴ συνεχές, καθάπερ λέγει Δημόκριτος καὶ Λ. καὶ (213 b) ἕτεροι πολλοὶ τῶν φυσιολόγων, ἢ καὶ εἴ τι ἔξω τοῦ παντὸς σώματός ἐστιν ὄντος συνεχοῦς. οὗτοι μὲν οὖν οὐ κατὰ θύρας πρὸς τὸ πρόβλημα ἀπαντῶσιν, ἀλλ' οἱ φάσκοντες εἶναι [nämlich τὸ κενόν] μᾶλλον. λέγουσι δ' ἓν μὲν (1) ὅτι κίνησις ἡ κατὰ τόπον οὐκ ἂν εἴη (αὕτη δ' ἐστὶ φορὰ καὶ αὔξησις) . . . ἕνα μὲν οὖν τρόπον ἐκ τούτων δεικνύουσιν ὅτι ἔστι τι κενόν. ἄλλον δ' (2) ὅτι φαίνεται ἔνια συνιόντα καὶ πιλούμενα . . . ἔτι δὲ (3) καὶ ἡ αὔξησις δοκεῖ πᾶσι γίγνεσθαι διὰ κενοῦ . . . μαρτύριον δὲ καὶ (4) τὸ περὶ τῆς τέφρας ποιοῦνται, ἣ δέχεται ἴσον ὕδωρ ὅσον τὸ ἀγγεῖον τὸ κενόν.

20. Simpl. Phys. 648, 12 . . . οἱ περὶ Δημόκριτον καὶ Λεύκιππον ἔλεγον, οὐ μόνον ἐν τῶι κόσμωι κενόν εἶναί τι λέγοντες, ἀλλὰ καὶ ἔξω τοῦ κόσμου.

21. — de caelo 202, 16 Λ. δὲ καὶ Δημόκριτος ἀπείρους τῶι πλήθει τοὺς κόσμους ἐν ἀπείρωι τῶι κενῶι καὶ ἐξ ἀπείρων τῶι πλήθει τῶν ἀτόμων συνίστασθαί φησι. Vgl. 12 A 17.

22. Aët. II 2, 2 (D. 329) Λ. καὶ Δημόκριτος σφαιροειδῆ τὸν κόσμον. 3, 2 (D. 330) Λ. δὲ καὶ Δημόκριτος καὶ Ἐπίκουρος οὔτ' ἔμψυχον οὔτε προνοίαι διοι-

---

11 ἀκίνητα Hss. (auch Patm.): verb. Gale 15 τίνα] sc. κίνησιν 16 οὐδ' εἰ ὡδὶ ἢ ὡδί Diels: οὐδὲ ὡδὶ οὐδὲ Hss. vgl. [Al.] 690, 35 διὰ τί ὡδὶ μὲν τάδε κινοῦντας ὡδὶ δὲ τάδε, τούτων τὴν αἰτίαν οὐ λέγουσιν 20 κεχωρισμένον FHLM: κεχωρισμένος E 23 ὅτι ἔστι τι ὁ ἀήρ] wie Anaxag. a. O. 26 εἴ τι τῶν ἔξω E 29f. 1—3 gibt Th. Gomperz dem Leukippos, 4 dem Demokritos ἡ κίνησις ἡ F 33 ἴσον fehlt F

κεῖσθαι, φύσει δέ τινι ἀλόγωι, ἐκ τῶν ἀτόμων συνεστῶτα [nämlich τὸν κόσμον]. 4, 6 (D. 331) Ἀναξίμανδρος ... Λ. φθαρτὸν τὸν κόσμον.

23. — II 7, 2 (D. 336) Λ. καὶ Δημόκριτος χιτῶνα κύκλωι καὶ ὑμένα περιτείνουσι τῶι κόσμωι διὰ τῶν ἀγκιστροειδῶν ἀτόμων συμπεπλεγμένον.

24. — I 4, 1ff. (D. 289; Usen. *Epicur.* fr. 308, Auszug aus dem Μέγας διάκοσμος) (1) ὁ τοίνυν κόσμος συνέστη περικεκλασμένωι σχήματι ἐσχηματισμένος τὸν τρόπον τοῦτον· τῶν ἀτόμων σωμάτων ἀπρονόητον καὶ τυχαίαν ἐχόντων τὴν κίνησιν συνεχῶς τε καὶ τάχιστα κινουμένων, εἰς τὸ αὐτὸ πολλὰ σώματα συνηθροίσθη [καὶ] διὰ τοῦτο ποικιλίαν ἔχοντα καὶ σχημάτων καὶ μεγεθῶν. (2) ἀθροιζομένων δ' ἐν ταὐτῶι τούτων τὰ μὲν ὅσα μείζονα ἦν καὶ βαρύτερα πάντως ὑπεκάθιζεν· ὅσα δὲ μικρὰ καὶ περιφερῆ καὶ λεῖα καὶ εὐόλισθα, ταῦτα καὶ ἐξεθλίβετο κατὰ τὴν σύνοδον τῶν ἀτόμων εἴς τε τὸ μετέωρον ἀνεφέρετο. ὡς δ' οὖν ἐξέλειπε μὲν ἡ πληκτικὴ δύναμις μετεωρίζουσα οὐκέτι τε ἦγεν ἡ πληγὴ πρὸς τὸ μετέωρον, ἐκωλύετο δὲ ταῦτα κάτω φέρεσθαι, ἐπιέζετο πρὸς τοὺς τόπους τοὺς δυναμένους δέξασθαι· οὗτοι δὲ ἦσαν οἱ πέριξ, καὶ πρὸς τούτοις τὸ πλῆθος τῶν σωμάτων περιεκλᾶτο. περιπλεκόμενά τε ἀλλήλοις κατὰ τὴν περίκλασιν τὸν οὐρανὸν ἐγέννησε. (3) τῆς δ' αὐτῆς ἐχόμεναι φύσεως αἱ ἄτομοι ποικίλαι οὖσαι, καθὼς εἴρηται, πρὸς τὸ μετέωρον ἐξωθούμεναι τὴν τῶν ἀστέρων φύσιν ἀπετέλουν. τὸ δὲ πλῆθος τῶν ἀναθυμιωμένων σωμάτων ἔπληττε τὸν ἀέρα καὶ τοῦτον ἐξέθλιβε. πνευματούμενος δὲ οὗτος κατὰ τὴν κίνησιν καὶ συμπεριλαμβάνων τὰ ἄστρα συμπεριῆγεν αὐτὰ καὶ τὴν νῦν περιφορὰν αὐτῶν μετέωρον ἐφύλαττε· κἄπειτα ἐκ μὲν τῶν ὑποκαθιζόντων ἐγεννήθη ἡ γῆ, ἐκ δὲ τῶν μετεωριζομένων οὐρανός, πῦρ, ἀήρ. (4) πολλῆς δὲ ὕλης ἔτι περιειλημμένης ἐν τῆι γῆι πυκνουμένης τε ταύτης κατὰ τὰς ἀπὸ τῶν πνευμάτων πληγὰς καὶ τὰς ἀπὸ τῶν ἀστέρων αὔρας προσεθλίβετο πᾶς ὁ μικρομερὴς σχηματισμὸς ταύτης καὶ τὴν ὑγρὰν φύσιν ἐγέννα· ῥευστικῶς δὲ αὕτη διακειμένη κατεφέρετο πρὸς τοὺς κοίλους τόπους καὶ δυναμένους χωρῆσαί τε καὶ στέξαι, ἢ καθ' αὑτὸ τὸ ὕδωρ ὑποστὰν ἐκοίλαινε τοὺς ὑποκειμένους τόπους· τὰ μὲν οὖν κυριώτατα μέρη τοῦ κόσμου τὸν τρόπον τοῦτον ἐγεννήθη. EPICUR. Ep. II [Diog. X 88ff. p. 37, 7 Us.] κόσμος ἐστὶ περιοχή τις οὐρανοῦ ἄστρα τε καὶ γῆν καὶ πάντα τὰ φαινόμενα περιέχουσα, ἀποτομὴν [vgl. A 1; II 70, 29] ἔχουσα ἀπὸ τοῦ ἀπείρου [καὶ καταλήγουσα ἐν πέρατι ἢ ἀραιῶι ἢ πυκνῶι καὶ οὗ λυομένου πάντα τὰ ἐν αὐτῶι σύγχυσιν λήψεται] καὶ λήγουσα ἢ ἐν περιαγομένωι ἢ ἐν στάσιν ἔχοντι καὶ στρογγύλην ἢ τρίγωνον [c. 16; I 106, 9] ἢ οἵαν δήποτε περιγραφήν. (89) ὅτι δὲ καὶ τοιοῦτοι κόσμοι εἰσὶν ἄπειροι τὸ πλῆθος, ἔστι καταλαβεῖν, καὶ ὅτι καὶ ὁ τοιοῦτος δύναται κόσμος γίνεσθαι καὶ ἐν κόσμωι καὶ μετα-

---

3 χιτῶνα καὶ ὑμένα] vermutlich Leukippische Worte (vgl. zu ὑμήν Hipp. de nat. inf. 12 (VIII 488, 13—21 L.), χιτών Hipp. de carn. 3 (IX 586, 4ff. L.); τειχέων κιθῶνες Herod. VII 139). Vgl. A 1 (II 71, 5) 5 vgl. Rohde *Kl. Schriften* I 200[1] 9 [καὶ] Usener μεγεθῶν ⟨καὶ βαρῶν⟩ Usener 10 τούτων τοσούτων Euseb. βαρύτατα Hss.: verb. Usener 12 ἐξέλιπε Hss.: verb. Diels 18 ἄστρων Eus. 19 ἐπέπληττε Eus. 21 ἐφύλαττε] ἐφείλιττε verkehrt Usener 24 πνευμάτων Hss.: σωμάτων Eus. (Usener) ἄστρων Usener αὔρας Hss.: αὐγὰς Eus. 31 καταλήγουσα ... πυκνῶι hat Us. als Zusatz zu Z. 32 λήγουσα κτλ. und καὶ οὗ λυομένου ... λήψεται als solch. zu Z. 29. 30 ausgeschaltet 32 λήγουσαν Hss.: verb. Gassendi 35 καὶ ὅτι καὶ Hss.: καὶ ὅτι [καὶ] Schneider ἐν κόσμωι καὶ tilgt Woltjer καὶ] κἀν Usener

κοσμίωι ὃ λέγομεν μεταξὺ κόσμων διάστημα ἐν πολυκένωι τόπωι καὶ οὐκ ἐν μεγάλωι καὶ εἰλικρινεῖ κενῶι, καθάπερ τινές φασιν, ἐπιτηδείων τινῶν σπερμάτων ῥυέντων ἀφ' ἑνὸς κόσμου ἢ μετακοσμίου ἢ καὶ ἀπὸ πλειόνων κατὰ μικρὸν προσθέσεις τε καὶ διαρθρώσεις καὶ μεταστάσεις ποιούντων ἐπ' ἄλλον τόπον ... (90) οὐ γὰρ ἀθροισμὸν δεῖ μόνον γενέσθαι οὐδὲ δῖνον ἐν ὧι ἐνδέχεται κόσμον γίνεσθαι κενῶι κατὰ τὸ δοξαζόμενον ἐξ ἀνάγκης, αὔξεσθαί τε, ἕως ἂν ἑτέρωι προσκρούσηι, καθάπερ τῶν φυσικῶν καλουμένων φησί τις. τοῦτο γὰρ μαχόμενόν ἐστι τοῖς φαινομένοις.

25. Aët. iii 3, 10 (D. 369) Λ. πυρὸς ἐναποληφθέντος νέφεσι παχυτάτοις ἔκπτωσιν ἰσχυρὰν βροντὴν ἀποτελεῖν ἀποφαίνεται. Vgl. 68 A 93.

26. — — 10, 4 (D. 377; περὶ σχήματος γῆς) Λ. τυμπανοειδῆ. Vgl. 68 A 94.

27. — — 12, 1 (D. 377; περὶ ἐγκλίσεως γῆς) Λ. παρεκπεσεῖν τὴν γῆν εἰς τὰ μεσημβρινὰ μέρη διὰ τὴν ἐν τοῖς μεσημβρινοῖς ἀραιότητα, ἅτε δὴ πεπηγότων τῶν βορείων διὰ τὸ κατεψῦχθαι τοῖς κρυμοῖς, τῶν δὲ ἀντιθέτων πεπυρωμένων. Vgl. A 1 (ii 71, 17) und 68 A 96.

28. Aristot. de anima A 2. 404a 1 Δημόκριτος μὲν πῦρ τι καὶ θερμόν φησιν αὐτὴν εἶναι [näml. τὴν ψυχήν]· ἀπείρων γὰρ ὄντων σχημάτων καὶ ἀτόμων [τὰ σφαιροειδῆ πῦρ καὶ ψυχὴν λέγει οἷον ἐν τῶι ἀέρι τὰ καλούμενα ξύσματα ἃ φαίνεται ἐν ταῖς διὰ τῶν θυρίδων ἀκτῖσιν, ὧν] τὴν μὲν πανσπερμίαν στοιχεῖα λέγει τῆς ὅλης φύσεως (ὁμοίως δὲ καὶ Λ.)· τούτων δὲ τὰ σφαιροειδῆ ψυχήν, διὰ τὸ μάλιστα διὰ παντὸς δύνασθαι διαδύνειν τοὺς τοιούτους ῥυσμοὺς καὶ κινεῖν τὰ λοιπὰ κινούμενα καὶ αὐτά, ὑπολαμβάνοντες τὴν ψυχὴν εἶναι τὸ παρέχον τοῖς ζώιοις τὴν κίνησιν. διὸ καὶ τοῦ ζῆν ὅρον εἶναι τὴν ἀναπνοήν. συνάγοντος γὰρ τοῦ περιέχοντος τὰ σώματα καὶ ἐκθλίβοντος τῶν σχημάτων τὰ παρέχοντα τοῖς ζώιοις τὴν κίνησιν διὰ τὸ μηδ' αὐτὰ ἠρεμεῖν μηδέποτε, βοήθειαν γίγνεσθαι θύραθεν ἐπεισιόντων ἄλλων τοιούτων ἐν τῶι ἀναπνεῖν· κωλύειν γὰρ αὐτὰ καὶ τὰ ἐνυπάρχοντα ἐν τοῖς ζώιοις ἐκκρίνεσθαι, συνανείργοντα τὸ συνάγον καὶ πηγνύον· καὶ ζῆν δέ, ἕως ἂν δύνωνται τοῦτο ποιεῖν. Aët. iv 3, 7 (D. 388) Λ. ἐκ πυρὸς εἶναι τὴν ψυχήν.

29. Aët. iv 13, 1 (D. 403) Λ., Δημόκριτος, Ἐπίκουρος κατὰ εἰδώλων εἴσκρισιν οἴονται τὸ ὁρατικὸν συμβαίνειν πάθος. Alex. de sensu p. 24, 14 λέγει γὰρ Δημόκριτος τὸ ὁρᾶν εἶναι τὸ τὴν ἔμφασιν τὴν ἀπὸ τῶν ὁρωμένων δέχεσθαι· ἔστι δὲ ἔμφασις τὸ ἐμφαινόμενον εἶδος ἐν τῆι κόρηι, ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις τῶν διαφανῶν, ὅσα οἷά τε τὴν ἔμφασιν φυλάττειν ἐν αὐτοῖς. ἡγεῖται δὲ αὐτός τε καὶ πρὸ αὐτοῦ Λ. καὶ ὕστερον δὲ οἱ περὶ τὸν Ἐπίκουρον εἴδωλά τινα ἀπορρέοντα ὁμοιόμορφα τοῖς ἀφ' ὧν ἀπορρεῖ (ταῦτα δέ ἐστι τὰ ὁρατά) ἐμπίπτειν τοῖς τῶν

---

2 καὶ εἰλικρινεῖ Diels: εἰλικρινεῖ καὶ Hss. τινὰ φύσιν BP[1]: τινὲς Casaubonus, φασὶν corr. P[1]F 3 ἢ καὶ FP[2]: ἢ BP[1] 5 δεῖνον Hss. 7 τις] Leukippos oder, wie Epikur den Autor des Μέγας διάκοσμος nannte, Demokritos 10ff. Die Verweisungen auf Demokrit sind zugefügt, um die kleinen Unterschiede zwischen Lehrer und Schüler zu zeigen 17 τὰ σφαιροειδῆ π. κ. ψ. λέγει und 19 ὧν tilgte Madvig. Das Ganze als Glossem nach 404a 16 [58 B 40] tilgte Diels; doch vgl. Langerbeck *Neue Phil. Unters.* 10 S. 78 19 μὲν nur E, Themist. 20 δὲ] bis δὴ W 31 über Theophrast als Quelle der wichtigen Notizen des Al. und über Leuk. als Urheber der atomistischen Theorie des Sehens vgl. Zeller *Archiv f. G. d. Phil.* 15 (1902) 138 34 οἷά τε Wendland: οἴεται Hss.

ὁρώντων ὀφθαλμοῖς καὶ οὕτως τὸ ὁρᾶν γίνεσθαι. 56, 12 εἴδωλα γάρ τινα ὁμοιόμορφα ἀπὸ τῶν ὁρωμένων συνεχῶς ἀπορρέοντα καὶ ἐμπίπτοντα τῆι ὄψει τοῦ ὁρᾶν ἠιτιῶντο. τοιοῦτοι δὲ ἦσαν οἵ τε περὶ Λεύκιππον καὶ Δημόκριτον, οἳ καὶ ἐκ τῆς τῶν ἀοράτων διὰ μικρότητα παραθέσεως τὴν τῶν μεταξὺ χρωμάτων φαντασίαν ἐποίουν.

30. — IV 8, 5 (D. 394) Λ., Δημόκριτος τὰς αἰσθήσεις καὶ τὰς νοήσεις ἑτεροιώσεις εἶναι τοῦ σώματος. 8, 10 (D. 395) Λ., Δημόκριτος, Ἐπίκουρος τὴν αἴσθησιν καὶ τὴν νόησιν γίνεσθαι εἰδώλων ἔξωθεν προσιόντων· μηδενὶ γὰρ ἐπιβάλλειν μηδετέραν χωρὶς τοῦ προσπίπτοντος εἰδώλου.

31. — — 14, 2 (D. 405) Λ., Δημόκριτος, Ἐπίκουρος τὰς κατοπτρικὰς ἐμφάσεις γίνεσθαι κατ' εἰδώλων ἐνστάσεις, ἅτινα φέρεσθαι μὲν ἀφ' ἡμῶν, συνίστασθαι δὲ ἐπὶ τοῦ κατόπτρου κατ' ἀντεπιστροφήν. Vgl. 31 B 109a.

32. — — 9, 8 (D. 397) οἱ μὲν ἄλλοι φύσει τὰ αἰσθητά, Λ. δὲ ⟨καὶ⟩ Δημόκριτος καὶ Διογένης νόμωι, τοῦτο δ' ἐστὶ δόξηι καὶ πάθεσι τοῖς ἡμετέροις. μηδὲν δ' εἶναι ἀληθὲς μηδὲ καταληπτὸν ἐκτὸς τῶν πρώτων στοιχείων, ἀτόμων καὶ κενοῦ. ταῦτα γὰρ εἶναι μόνα φύσει, τὰ δ' ἐκ τούτων θέσει καὶ τάξει καὶ σχήματι διαφέροντα ἀλλήλων συμβεβηκότα.

33. Epiphan. adv. haer. III 2, 9 (D. 590) Λ. ὁ Μιλήσιος, κατὰ δέ τινας Ἐλεάτης, καὶ οὗτος ἐριστικός. ἐν ἀπείρωι καὶ οὗτος τὸ πᾶν ἔφη εἶναι, κατὰ φαντασίαν δὲ καὶ δόκησιν τὰ πάντα γίνεσθαι καὶ μηδὲν κατὰ ἀλήθειαν, ἀλλ' οὕτω φαίνεσθαι κατὰ τὴν ἐν τῶι ὕδατι κώπην.

34. Aët. V 25, 3 (D. 437; ποτέρου ἐστὶν ὕπνος καὶ θάνατος, ψυχῆς ἢ σώματος;) Λ. ὕπνον σώματος γίνεσθαι ἀποκρίσει τοῦ λεπτομεροῦς πλείονι τῆς εἰσκρίσεως τοῦ ψυχικοῦ θερμοῦ· ⟨ἧς⟩ τὸν πλεονασμὸν αἴτιον θανάτου· ταῦτα δὲ εἶναι πάθη σώματος, οὐ ψυχῆς. Vgl. A 28.

35. — V 4, 1 (D. 417; εἰ σῶμα τὸ σπέρμα) Λ. καὶ Ζήνων σῶμα· ψυχῆς γὰρ εἶναι ἀπόσπασμα.

36. — — 7, 5a (D. 420; πῶς ἄρρενα γεννᾶται καὶ θήλεα;) Λ. διὰ τὴν παραλλαγὴν τῶν μορίων καθ' ἣν ὁ μὲν καυλόν, ἡ δὲ μήτραν ἔχει· τοσοῦτον γὰρ μόνον λέγει. Vgl. 68 A 143.

37. Clem. Strom. II 129 [II 183, 19 St.] ναὶ μὴν Λύκος ὁ Περιπατητικὸς τὴν ἀληθινὴν χαρὰν τῆς ψυχῆς τέλος ἔλεγεν εἶναι, ὡς Λεύκιμος [?] τὴν ἐπὶ καλοῖς. Vgl. 68 B 207.

---

3 ἠιτιῶντο Ald.: ἠτέων oder αἰτίων Hss. 11 ἐνστάσεις Meineke nach Aët. IV 13, 2 (D. 403, 6): ἐμφάσεις Stob.: ἐπιστάσεις Gal.: ὑποστάσεις Plut.: ἀποστάσεις Usener (vgl. Epic. fr. 320) 13 vgl. zu II 57, 10 23 ὕπνον Bernardakis: οὐ μόνον Hss. ἀποκρίσει Diels: ἀλλὰ κράσει Hss.: ἅμ' ἐκκρίσει Bernardakis: ἀλλ' ἐκκρίσει schon Heimsoeth 24 ⟨ἧς⟩ Diels sc. ἀποκρίσεως: ⟨οὗ⟩ Studemund; ⟨ἀποκρίσεως δὲ⟩ τὸν πλεονασμόν H. Gomperz ταῦτα ... ψυχῆς] vgl. Zeller-Nestle *Phil. d. Gr.* I 1119¹ 32 Λεύκιππος Sylburg: Λυκίσκος Bywater wahrscheinlicher

## B. FRAGMENTE

### ΛΕΥΚΙΠΠΟΥ ΜΕΓΑΣ ΔΙΑΚΟΣΜΟΣ

Vgl. 68 A 33 (Tetral. III. IV); B 4b.

1. Achill. Isag. 1, 13 (aus Eudoros) τοὺς ἀστέρας δὲ ζῶια εἶναι οὔτε Ἀναξαγόραι [59 A 79] οὔτε Δημοκρίτωι ἐν τῶι Μεγάλωι διακόσμωι δοκεῖ.

1a. Pap. Hercul. 1788 (Coll. alt. vol. VIII) fr. 1 (Crönert *Kolotes u. Mened.* S. 147):

γ⟩ράφων ⟨ὅτι
. . . . . . . . . τὰ⟩ αὐτὰ πρότε⟨ρον
εἴρηται ἐν⟩ τῶι Με⟨γ⟩άλω⟨ι
διακόσμω⟩ι, ὅν φασιν εἶνα⟨ι
Λευκίππου.⟩ κἀπ⟨ὶ⟩ το⟨σ⟩οῦτο τὸ
6 τῶν ἄλλ⟩ων ⟨ἰ⟩διοποιούμενος
ἐλέγχετ' ο⟩ὐ μόνον ἐν τῶ⟨ι
Μικρῶι δι⟩ακόσμωι τιθεί⟨ς
ἃ κἀν τῶι⟩ Με⟨γάλωι κεῖται

Weitere wörtliche Zitate aus dem Μέγας διάκοσμος sind nicht erhalten — wohl aber eine Inhaltsangabe, vgl. A 7 II 73, 16ff. —, einzelne Termini wie ἄτομοι, ναστά, μέγα κενόν, ἀποτομή, ῥυσμός, διαθιγή, τροπή, περιπάλαξις, δῖνος u. a. sind aus den doxographischen Berichten (unter A) nachweisbar. Epikureische Excerpte 67 A 24.

---

### LEUKIPPS GROSSE WELTORDNUNG

1. *In der Gr. Welt. war geleugnet, daß die Gestirne lebende Wesen seien.*

*Atomistische Termini daraus*: Atome, Massive (= Atome), die Weltenleere, Abtrennung, Gestalt, gegenseitige Berührung (*d. h. Reihenfolge*), Lage, Verflechtung, Wirbel *u. a.*

---

2 Die Schriften der älteren Abderiten scheinen im vierten Jahrh. bereits ohne Unterschied der Verf. in einem *a potiori* genannten *Corpus Democriteum* vereinigt gewesen zu sein. Aristoteles und Theophrast, die in Makedonien wie in Assos mit der Schule der Abderiten in Verbindung getreten zu sein scheinen, hatten Genaueres von dieser über den Stifter und seine Schriftstellerei erfahren. Daher erscheint bei ihnen und fast nur bei ihnen eine deutliche Sonderung des Leukippischen und Demokritischen Nachlasses. Auch konnte vermutlich aus der Klage wegen Plagiats, die Demokrit im Μικρὸς διάκοσμος gegen Anaxagoras erhoben zu haben scheint [68 B 5], die Autorschaft des Leukippos für den Μέγας διάκοσμος und Περὶ νοῦ bestätigt werden. Vgl. dazu 67 A 2. 24. 68 A 1 § 40, A 2. 14 und die zu oben II 71, 24 angeführte Literatur 10 Die Beschuldigung des Plagiates ist gegen Demokrit gerichtet, der in Col. 217 genannt wird. 11 εἴρηται Diels: ἐρρήθη Crönert, der alles übrige ergänzte außer 12 (9)